Γ'.
# ΙΣΤΟΡΙΚΑΙ ΕΙΔΗΣΕΙΣ ΕΚ ΤΗΣ ΕΡΜΗΝΕΙΑΣ ΤΗΣ ΑΠΟΚΑΛΥΨΕΩΣ ΤΟΥ ΚΥΡΙΛΛΟΥ ΤΟΥ ΠΑΤΡΕΩΣ*

ΥΠΟ
Κ. ΔΥΟΒΟΥΝΙΩΤΟΥ (†)
ΑΚΑΔΗΜΑΪΚΟΥ - ΚΑΘΗΓΗΤΟΥ ΤΟΥ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΑΘΗΝΩΝ

Κατωτέρω παραθέτω τὰς κυριωτέρας τῶν ἱστορικῶν εἰδήσεων, τῶν περιεχομένων ἐν τῇ ἑρμηνείᾳ τῆς Ἀποκαλύψεως τοῦ Κυρίλλου, ὧν πολλαὶ ὡς αὐτόπτου καὶ αὐτηκόου μάρτυρος ἔχουσιν ἀναμφιβόλως ἀξίαν, προτάσσω δ' ἐνταῦθα πίνακα πρὸς εὐχερεστέραν ὑπὸ τοῦ μελετητοῦ εὕρεσιν τῶν ἐνδιαφερόντων αὐτὸν τοιούτων. Ἄξιον ἐν τούτοις σημειώσεως εἶναι ἐνταῦθα ὅτι τινὲς τῶν ἱστορικῶν εἰδήσεων τοῦ Κυρίλλου ἕνεκα τῶν συνθηκῶν, ὑφ' ἃς ἔζησε καὶ ἔγραψε, καὶ τῆς ἐπιδράσεως τούτων ἐπὶ τῶν σκέψεων καὶ κρίσεων αὐτοῦ περὶ διαφόρων γεγονότων καὶ ἰδίᾳ διαφόρων προσώπων, ὡς παραδείγματος χάριν περὶ τοῦ Ἀλεξάνδρου Ὑψηλάντου, δὲν εἶναι ἀμερόληπτοι καὶ ἐπομένως ἔχουσιν ἀνάγκην καὶ ἀντικειμενικῆς ἐρεύνης καὶ ἐξακριβώσεως.

1. *Βιογραφικαὶ εἰδήσεις περὶ Κυρίλλου*, κα'. νε'. ,αφογ'. ,αχλ'. ,αωια'. ,αϟμα'. ,βλ'. ,βωμθ'. βωϟθ'. ,γυ'. ,γρλθ'. ,γτοδ'. ,γφξβ'. ,γχιβ'. ,γχλα'. ,δμοτ'. ,δρβ'. ,δροα'. ,δυμ'. ,εε'. ,ετιδ'.
2. *Γενεολογία Κομνηνῶν*. ,εωμε'.
3. *Γενεαλογία Παλαιολόγων*. ,εωμστ'.
4. *Γενεαλογία ἡγεμόνων Ὀθωμανῶν*. ,εωμζ'.
5. *Πάπαι. Παπισταί. Σταυροφορίαι*. νστ'. ,αωια'. ,βλζ'. ,βτξδ'. ,βτϟζ'. ,βτϟη'. ,βιλε'. ,βυνβ'. ,βυνθ'. ,βυξ'. ,βυξα'. ,βυξβ'. ,βυξε'. 'βυοα'. ,βυοβ'. ,βυογ'. ,βυοδ'. ,βυοε'. ,βυοη'. ,βυοθ'. 'βυπ'. ,βυπστ'. ,βφκ'. ,βφνθ'. ,βχκ'. 'βων'. ,βϟιδ. ,βϟκζ'. ,βϟπη'. ,γιγ'. ,γτε'. ,γωοα'. ,δρπγ'. ,εωμδ'.
6. *Μωαμεθανοί*. νστ'. ξα'. ξβ'. τϟα'. ,αχϟβ'. ,βλ'. ,βοη'. ,βσοθ'. ,βσϟβ'. ,βσϟγ'. ,βσϟζ'. ,βτνστ'. ,βτξδ'. ,βυξ'. ,βφξα'. 'βφξβι'. ,βφξγ'. ,βχιγ'. ,βψοε'. ,βων'. 'βωϟθ'. ,γιγ'. ,γοθ'. ,γτε'. ,γτξζ'. ,γτοδ'. ,γυ'. ,γυξ'. ,γωοα'. ,γωπστ'. ,γϟλε'. ,δυη'. ,δων'. ,ελ'. εωϟθ'.

---

* Ἐκ τῶν καταλειφθέντων εἰς τὴν Θεολογικὴν Σχολὴν τοῦ Πανεπιστημίου Ἀθηνῶν ἀνεκδότων χειρογράφων καταλοίπων τοῦ ἀειμνήστου Καθηγητοῦ αὐτῆς Κωνσταντίνου Δυοβουνιώτου († 1943). Τὰ δύο προηγούμενα μέρη ἐδημοσιεύθησαν ἐν τῇ «Θεολογίᾳ», τὸ μὲν Α' ἐν τ. 22 (1951) 446 ἑξ. καὶ 568 ἑξ., τὸ δὲ Β' ἐν τ. 24 (1953) 345 ἑξ., 504 ἑξ. καὶ τ. 25 (1954) 47 ἑξ. Ἡ δημοσίευσις γίνεται ἐπιμελείᾳ τοῦ Καθηγητοῦ κ. *Ἰωάννου Καρμίρη*.

7. *Ἀλβανοί.* νε'. ,αωπδ'. ,βωμγ'. ,γψκδ'. ,γϡλε'. ,γϡμα'. ,γϡοα'. ,δμοτ'. ,δρπγ'. ,δρπδ'. ,εε'.

8. *Πυρπολήσεις καὶ πυρκαϊαὶ πόλεων, ναῶν καὶ μονῶν.* ξα'. ,αωπδ'. ,βλ'. ,βνβ'. ,γιγ'. ,γτξζ'. ,γτοδ'. ,γψκδ'. ,γϡμα'. ,δτοθ'. ,δυκγ'. ,δυμγ'. ,δυμδ'. ,δυξε'. ,δυξη'. δυϡζι'. ,δφπι'.

9. *Πυρπόλησις καὶ καταστροφὴ ἐξ ἀστραπῆς.* ,βσμδ'.

10. *Ἀνέγερσις ναῶν ὑπὸ Ἀλῆ πασᾶ καὶ τοῦ υἱοῦ αὐτοῦ Βελῆ.* 'αωπδ'.

11. *Λιμοί, λοιμοὶ καὶ σεισμοί.* κα'. βυβ'. γκ'.

12. *Ἐξέγερσις καὶ ἐπανάστασις Σέρβων.* ,βψοδ'. ,βψοε'. βωϡζ'. ,δλδ'. ,δσλβ'. ,δσλγ'. ,δσξδ'. ,δτμα'. δψϡα'. ,εοστ'. ,εωϡθ'.

13. *Ἐξέγερσις καὶ ἐπανάστασις Ἑλλήνων.* ,δοβ'. ,δσξδ'. ,δψϡα'. ,εψζθ'. ,εωιστ'. 'εωοστ'. ,εωπε'. ,εωϡθ'.

14. *Ρῶσσοι.* νε'. ,τϡα'. ϡπθ'. ,αχϡθ'. ,αωϡ'. ,δλδ'. ,δμστ'. ,δσξδ'. ,δυϡζ'. ,δωλθ'. ,ελ'. 'ετκε', ,εωπε'. 'εϡμβ'.

15. *Γάλλοι. Ναπολέων.* τϡα'. ,αψξστ'. ,αωϡ'. 'βωμγ'. ,δμστ'. ,δυη'. ,δωκστ'. ,δωλθ'. ,ετκε'.

16. *Γερμανοί.* τϡα'. ,γωπστ'.

17. *Ἐνετοί.* τϡα'. ,αχλ'. ,γωοα'. ,δμστ'.

18. *Βούλγαροι.* ,βυοα'. ,εωϡθ'.

19. *Ἰουδαῖοι.* ,γχλα'. ,εωπ'.

20. *Μέριμνα περὶ πασχόντων καὶ ἐνδεῶν.* ,γχλα'. ,εδ'. ,στσμα'.

21. *Δέσμευσις προϊόντων καὶ αἰσχροκέρδεια.* ,δυμη'. δφλστ'.

22. *Βουκουρέστιον.* κα'. ,βνβ'. 'δυκγ'. ,εϡγ'. ,ευ'. ,ευο'. ,εψβ'.

23. *Κωνσταντῖνος καὶ Ἀλέξανδρος Ὑψηλάνται.* ,δυκγ'. 'εωιστ'. ,εωϡθ'.

24. *Κωνσταντῖνος Ζαΐμης.* ,εδ'.

25. *Νικόλαος Μαυρογένης.* ,βσϡβ'. ,βτνα'.

26. *Κωνσταντῖνος Χαντζερῆς.* ,βσϡβ'.

27. *Περὶ τῆς ἀψίνθου.* ,βτλ'.

28. *Οἱ ἐν τῇ μονῇ τοῦ Σινᾶ μοναχοί.* ,γυϡθ'. ,γφ'.

29. *Αἱ ὑπὸ τὰ πατριαρχεῖα μητροπόλεις, ἀρχιεπισκοπαί, ἐπισκοπαὶ καὶ μοναί.* ψγ'.

30. *Εἰκόνες τῆς Θεοτόκου γραφεῖσαι ὑπὸ τοῦ ἀποστόλου Λουκᾶ* ,εψιγ'. ,εψκα'.

31. *Θαῦμα ἐν Πάτραις.* βωμθ'.

32. *Ὁ νεομάρτυς Δημήτριος.* ,βωκβ'.

*κα'.* «Οὐκ ἔλαττον δὲ καὶ καθ' ἡμᾶς τὰ δεινὰ γεγένηται· ἐξ ὅτου περ γὰρ τὸ παιδικὸν ἱμάτιον ἀπεδυσάμεθα πολλῶν λιμῶν καὶ λοιμῶν καὶ σεισμῶν πειραθέντες τῶν Κυριακῶν τουτωνὶ λόγων μνημονεύσαντες πρὸς βεβαίαν πίστιν ἐτράπημεν, πολλοὺς κατιδόντες τῇ ἐνδείᾳ καὶ τῇ νόσῳ παραδοθέντας τῷ

θανάτῳ. Τοῦ γὰρ τρίτου Μουσταφᾶ τυραννοῦντος λιμὸς καὶ λοιμὸς ἐν τῇ ἐμῇ πατρίδι Πελοποννήσῳ διαρκέσαντες οὐκ ὀλίγους τῷ ᾅδῃ παρὰ καιρὸν παρέπεμψαν καὶ ὡς εἰπεῖν μετ' ἐκεῖνον τοῦ Χαμίτου καὶ τοῦ Σελίμου καὶ τοῦ ὀλίγον τυραννήσαντος τετάρτου Μουσταφᾶ καὶ τοῦ νῦν περιόντος Μαχμούτη πάσας τὰς ὑπὸ τὸν πικρὸν αὐτῶν ζυγὸν πόλεις καὶ ἐπαρχίας ἐν διαδοχῇ βοσκήσαντες σὺν τῇ πανώλῃ ὅ,τι πλείστους διέφθειραν· τῷ γὰρ λιμῷ κρατοῦντι καὶ ὁ λιμὸς καὶ ἡ πανώλης καὶ ὁ σεισμὸς παρέσεται· ἡγοῦνται γὰρ ἀλλήλων καὶ συνέπονται ἔχοντες προηγουμένους καὶ ἑπομένους πολέμους καὶ ἀκαταστασίας. Καὶ μάρτυς ὁ τὴν Δακίαν πᾶσαν κατασείσας σεισμὸς καὶ Μονὰς ὅλας ἐκ θεμελίων καταστρέψας καὶ ἀκαλλῆ οὐ μόνον ταύτην τὴν πόλιν τοῦ Βουκουρεστίου ἀποδείξας, ἀλλὰ καὶ πᾶσαν τὴν ἐπαρχίαν αὐτοῦ. Οὗτος ὁ σεισμὸς καὶ τὴν Μολδαυΐαν συνέσεισε καὶ τοὺς ἐν Βρασσόβῳ ἐτάραξε καὶ μέχρι τῆς Κωνσταντινουπόλεως ἔφθασε καὶ αὐτῆς τῆς Ρωσσίας ἥψατο».

*νε'*. «Αὐτίκα γὰρ ἡ Πελοπόννησος ἐπὶ τοῦ τρίτου Μουσταφᾶ ταῖς δεινοτάταις συμφοραῖς ὡμίλησε τοῖς Ρώσσοις δῆθεν ὡς ὁμοπίστοις συμφρονήσασα καὶ κατ' αὐτοῦ τὰ ὅπλα κινήσασα ὑπ' ἐκείνων παρακρουσθεῖσα καὶ τοῖς δεινοτάτοις περιπεσοῦσα. Τὸ γὰρ ὠμότατον καὶ δυσωδέστατον γένος τῶν Ἀλβανιτῶν ὑπ' ἐκείνου πεμφθὲν πρὸς τῷ ἀποκτεῖναι ἐν μαχαίρᾳ ὅ,τι πλείστους τῶν πιστῶν ἐζώγρησε καὶ πληθὺν ὡς ἀγέλας βοῶν μυριάδων πολλῶν γυναικῶν καὶ παιδίων μικρῶν καὶ πᾶσαν ταύτην ὡς κτήνη πέπρακεν ἐν τῇ Ἠπείρῳ καὶ Φθίᾳ καὶ Ἑλλάδι καὶ Μακεδονίᾳ καὶ Θράκῃ καὶ πάσῃ τῇ Ἰωνίᾳ. Τότε καὶ αἱ παλαιαὶ Πάτραι, ἡ ἐμὴ φιλτάτη πατρίς, κατεσκάφησαν καὶ οἱ ὑπεκφυγόντες τὸν διὰ ξίφους θάνατον καὶ τὸν ἀνδραποδισμὸν ἐν ταῖς τῶν Νεζερῶν κώμαις διεσώθησαν ἀνυπόδητοι καὶ μονοχίτωνες. Ἀλλὰ κἀνταῦθα καταδιωχθέντες ὅσοι ὡς δορκάδες ἐκ βρόχων λαθόντες ἔφυγον τοῦ πατρίου ἐδάφους πολλοῦ ἀλλότριοι ἐγένοντο, στένοντες καὶ τρέμοντες καὶ πείνῃ καὶ γυμνότητι προσπαλαίοντες. Καὶ οὕτω μὲν ἡ τῶν ἀρρένων φύσις· τῶν δὲ γυναικῶν, ὅσαι ἐξέφυγον τὴν ἅλωσιν, αὗται εἰς τὰ ὄρη πικρῶς ἀπέβαλον τῷ φόβῳ κατασχεθεῖσαι καὶ θηλάζουσαι τηνικαῦτα τὰ νεογνὰ ἠναγκάζοντο τῷ περιόντι δέει τὴν τῶν βρεφῶν ἀπειράκακον φύσιν τῶν μητρικῶν ὠλένων ἀπορρίπτειν. Καὶ συμβέβηκεν, εἰ μὴ σφοδρότερος πόνος καὶ πικροτέρα ὀδύνη τῆς ἀποβολῆς, οὐχ ἧττον δὲ παραπλήσιος τὸ θηλάζον καὶ παπάζον ἕρπον τε καὶ ψελλίζον τῷ θανάτῳ παραδοῦναι τοῦ μεγίστου δέους τὸ φίλτρον καταψύξαντος καὶ ἀναισθησίαν τῇ φύσει ἐπενεγκόντος».

*νστ'*. «Ἐντεῦθεν συνάγεται, ὅτι τοῦ Μωάμεθ τῆς Ἀραβίας καὶ τῶν ὁμόρων ἐπαρχιῶν καὶ πάσης τῆς Ἀσίας κρατήσαντος οἱ τῶν πιστῶν ἐπὶ τὴν τοῦ Χριστοῦ πίστιν θερμότεροι εἰς τὴν εὐσεβῆ Λιβύην κατέφυγον καὶ ταύτης ἐκείνου τυραννήσαντος εἰς τὴν Θρᾴκην, Μακεδονίαν καὶ πᾶσαν τὴν ἑλληνικὴν γῆν τὴν σωτηρίαν ηὕραντο, ὅτε καὶ αἱ πλείους τῶν ἱερῶν Μονῶν οὐ μόνον ἐπὶ τοῦ Ἄθωνος, ἀλλὰ κἂν πάσῃ τῇ διοικουμένῃ ὑπὸ τῶν εὐσε-

βῶν βασιλέων Εὐρώπῃ πρὸς τήρησιν τῆς ἀληθινῆς ἡμῶν πίστεως καὶ ἐργασίαν τῆς εὐαγγελικῆς ἀρετῆς τῶν βουλομένων σωθῆναι δεδόμηνται, ὧν αἱ μὲν σώζονται φιλοσοφούντων ἁγίων ἀνδρῶν ἐν αὐταῖς τοὺς εὐσεβεῖς αὐτῶν κτήτορας ἀριδήλως κηρύττουσαι, αἱ δὲ κατεσκάφησαν τοῦ θηρὸς τὸν μισαρὸν πόδα στερρῶς τῇ Εὐρώπῃ ἐμβαλόντος τὰ ἑαυτῶν σημεῖα δεικνύουσαι πρὸς δεῖγμα μὲν τῆς τῶν πιστῶν ἐκείνων εὐσεβείας, ἔλεγχον δ' ἀκριβῆ τῆς τῶν Μωαμεθιστῶν ἀσεβείας τε καὶ θηριωδίας. Οὕτως ἐστὶν ὀλοτὴρ ὁ Μωάμεθ' ἐφ' ἧς κεκράτηκε γῆς τῶν πιστῶν, ᾧ συναριθμητέον καὶ τὸν Πάπαν, ὃς παρεκτὸς ὀλίγων πάνυ τινῶν ὄντων ἐν τῇ τῆς πραοτάτης Γερμανίας ἐπικρατείᾳ ἱερῶν ἐν πάσῃ τῇ ἄλλῃ αὐτοῦ ὑποτελούσῃ γῇ πάντα ναὸν τῶν ὀρθοδόξων ἀλτάριον ἀποδείξας τοῖς ἑαυτοῦ λατρευταῖς παρέδωκε. Καὶ ἀσεβέστερος ἄρα τοῦ Μωάμεθ ἐστιν· οὗτος γὰρ εἴασεν ἡμῖν καὶ ἱερὰ καὶ Πατριάρχας καὶ Μητροπολίτας καὶ ἐπισκόπους καὶ ἱερεῖς καὶ διακόνους καὶ μοναχοὺς καὶ μονάς, ἐν δὲ τοῦ Πάπα τῇ ἐπικρατείᾳ συναγωγὰς μὲν τῶν Ἰουδαίων ἴδοις ἂν πολλάς, ἐκκλησίαν δὲ ὀρθοδόξων οὔ, καὶ μᾶλλον ἂν ἴδῃς κόρακα λευκὸν ἢ ἱερὸν ὀρθοδόξων Γραικῶν».

*ξα'*. «Ἐφαρμόζεται δὲ ταῦτα (τὰ κατὰ τοῦ τῶν Ἰουδαίων γένους) καὶ τοῖς πιστοῖς ἄγαν παρανομίσασι. Γενομένου γὰρ τοῦ Μωάμεθ ταὐτὰ κατ' αὐτῶν ὑπ' αὐτοῦ κατηνέχθη, ἵνα μὴ λέγω καὶ μείζω θλίψιν· ἐκείνοις μὲν γὰρ ἐν ὀλίγοις ἔτεσι, τοῖς δὲ πιστοῖς ἐν πολλῶν αἰώνων διαστήμασι καὶ μάχαι πολλαὶ συνέστησαν καὶ ποταμοὶ αἱμάτων ἀπὸ τῶν εὐσεβῶν σωμάτων ἐν πάσῃ πόλει καὶ χώρᾳ συνερρύησαν καὶ ἡ τῶν πόλεων βασιλὶς ἀπὸ τῆς τῶν ἁγίων παθῶν καταπολεμηθεῖσα ἑβδομάδος τῇ δουλείᾳ ὑπέπεσε κατὰ τὴν τῆς Πεντηκοστῆς τρίτην τὴν αὐτοκρατορίαν ἀφαιρεθεῖσα. Ἀλλὰ δὴ καὶ καθ' ἡμᾶς αἱ παλαιαὶ Πάτραι ἐν τῇ μεγάλῃ Παρασκευῇ τῶν Παθῶν πυρὶ μωαμεθιστικῷ παραδέδοται, ὅπερ ὡς ἀπὸ μιᾶς μεγάλης πηγῆς ῥέον τοὺς τῆς μεγίστης Πελοποννήσου οὐ μόνον ἁγίους Ναοὺς καὶ Μονὰς ἐτέφρωσεν, ἀλλὰ καὶ πᾶσαν πόλιν καὶ χώραν ἐτέφρωσε, τῆς συμφορᾶς ταύτης μόνον μὴ πειραθέντων τῶν Καλαβρυτῶν καὶ τῆς Καρυταίνης. Καὶ τότε ἐπληροῦτο αὖθις τό: ἐνέπρησαν ἐν πυρὶ τὰ ἁγιαστήριά σου, ἐβεβήλωσαν τὰ σκηνώματά σου, ἔθεντο τὴν Πελοπόννησον ὡς ὀπωροφυλάκιον, ἔθεντο τὰ θνησιμαῖα τῶν δούλων σου βρώματα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ τὰς σάρκας τῶν ὁσίων σου τοῖς θηρίοις τῆς γῆς».

(Συνεχίζεται)